προσπέπλεκται κολακεύουσα τὸν εὐδυσώπητον ὡς φιλάν- D
θρωπον καὶ πολιτικὸν καὶ κοινὸν ἔχοντα νοῦν καὶ οὐκ
ἄτεγκτον οὐδ᾽ αὐθέκαστον. ὅθεν εὐθὺς οἱ Στωικοὶ καὶ τῷ
ῥήματι τὸ αἰσχύνεσθαι καὶ δυσωπεῖσθαι τοῦ αἰδεῖσθαι
διέστησαν, ἵνα μηδὲ τὴν ὁμωνυμίαν τῷ πάθει πρόφασιν
τοῦ βλάπτειν ἀπολίπωσιν. ἀλλ᾽ ἡμῖν χρῆσθαι τοῖς ὀνό-
μασιν ἀσυκοφαντήτως δότωσαν, μᾶλλον δ᾽ Ὁμηρικῶς·
καὶ γὰρ ἐκεῖνος εἶπεν (Ω 445) ʽαἰδώς, ἥτ᾽ ἄνδρας μέγα
σίνεται ἠδ᾽ ὀνίνησι᾽ καὶ οὐ κακῶς τὸ βλάπτον αὐτῆς
πρότερον εἶπε. γίγνεται γὰρ ὠφέλιμος ὑπὸ τοῦ λόγου τὸ
πλεονάζον ἀφελόντος καὶ τὸ μέτριον ἀπολιπόντος. E

3. Πρῶτον οὖν τοῦτο δεῖ πείθεσθαι τὸν ὑπὸ πολλῆς
δυσωπίας βιαζόμενον, ὅτι πάθει βλαβερῷ συνέχεται, κα-
λὸν δὲ τῶν βλαβερῶν οὐδέν, οὐδὲ δεῖ τοῖς ἐπαίνοις κηλού-
μενον ἥδεσθαι κομψὸν καὶ ἱλαρὸν ἀντὶ σεμνοῦ καὶ μεγάλου
καὶ δικαίου προσαγορευόμενον μηδ᾽, ὥσπερ ὁ Εὐριπίδου
Πήγασος (fr. 309) ʽἔπτησσ᾽ ὑπείκων μᾶλλον, ἢ μᾶλλον
θέλοι,᾽ τῷ Βελλεροφόντῃ, τοῖς δεομένοις ἑαυτὸν ἐκδιδόναι
καὶ συνεκταπεινοῦν, φοβούμενον ἀκοῦσαι τὸ ʽσκληρός γε
καὶ ἀπηνής.᾽ τῷ μὲν γὰρ Αἰγυπτίῳ Βοκχόριδι φύσει
χαλεπῷ γενομένῳ τὴν ἀσπίδα λέγουσιν ὑπὸ τῆς Ἴσιδος
ἐπιπεμφθεῖσαν καὶ τῇ κεφαλῇ περιελιχθεῖσαν ἄνωθεν F
ἐπισκιάζειν, ἵνα κρίνῃ δικαίως, ἡ δέ τοι δυσωπία τοῖς
ἀτόνοις καὶ ἀνάνδροις ἐπικειμένη καὶ πρὸς μηδὲν ἀνανεῦ-
σαι μηδ᾽ ἀντειπεῖν ἰσχύουσα καὶ δικάζοντας ἀποτρέπει
τοῦ δικαίου καὶ συμβουλεύοντας ἐπιστομίζει καὶ λέγειν
πολλὰ καὶ πράττειν ἀναγκάζει τῶν ἀβουλήτων· | ὁ δ᾽ **530**

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403544920/357 UNIVERSITÄT LEIPZIG